www.tezaurliturgic.ro

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΓΙΑΣ ΛΥΔΙΑΣ ΤΗΣ ΦΙΛΙΠΠΗΣΙΑΣ

Ταύτη προσετέθησαν ὁ Παρακλητικὸς κανὼν
καὶ οἱ εἰκοσιτέσσαρες Οἶκοι τῆς Ἁγίας

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

ΕΚΔΟΣΙΣ
ΟΡΘΟΔΟΞΟΥ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΑΔΕΛΦΟΤΗΤΟΣ «ΛΥΔΙΑ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1991

www.tezaurliturgic.ro

Μαΐου κ΄
Μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας καί δικαίας Λυδίας τῆς Πορφυροπώλιδος, τῆς πρώτης ἐν Φιλίπποις πιστευσάσης πανοικεί τῷ Χριστῷ, τῷ κηρύγματι τοῦ οὐρανοβάμονος Παύλου.

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ **Μακάριος ἀνήρ.** Εἰς δὲ τὸ **Κύριε ἐκέκραξα,** ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ ἐν Φιλίπποις πάντες συνδράμωμεν, ἔνθα ὁ Θεῖος Παῦλος, τῶν ἀρρήτων ὁ μύστης, κηρύγματι τῷ Θείῳ πρώτην σαφῶς, τῷ Χριστῷ προσενήνοχε, πανοικεσίᾳ Λυδίαν τὴν θαυμαστήν, ἧς τὴν μνήμην ἑορτάσωμεν.

www.tezaurliturgic.ro

Ὡς ἐν Φιλίπποις ἐπέστη Παῦλος ὁ ἔνδοξος, τῇ καθαρᾷ ψυχῇ σου, τὸν τῆς χάριτος λόγον, ἐδέξω ἐκ χειλέων τῶν θείων αὐτοῦ, ὦ Λυδία θεόληπτε, καὶ ἀπαρχὴ Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, τῆς ἐνταῦθα ἐχρημάτισας.

Δημηγοροῦντος τοῦ Παύλου τοῦ θεοκήρυκος, τῇ θείᾳ ἐπτερώθης, τοῦ Σωτῆρος ἀγάπῃ καί τούτῳ προσελθοῦσα πίστει θερμῇ, σὺν τῷ οἴκῳ σου πάνσεμνε, υἱοθετήθης βαπτίσματι τῷ σεπτῷ, τῷ καλέσαντι Κυρίῳ σε.

Ὡς τὸν Θεὸν σεβομένη βίου σεμνότητι, τοῖς ῥήμασι τοῦ Παύλου, τοῦ σοφοῦ θεηγόρου, ὁ νοῦς σου διηνοίγη Λυδία σεμνή, καί ἐδέξω τὴν λύτρωσιν, τὴν ἐν Χριστῷ γενομένην διὰ Σταυροῦ, πανοικεί τούτῳ πιστεύσασα.

Ἐν ποταμῷ τῷ Ζυγάκτῃ θείῳ βαπτίσματι, τῆς πάλαι ἁμαρτίας, πανοικεί λυτρωθεῖσα, τῶν θείων Ἀποστόλων Λυδία σεμνή, ξεναγὸς ἐχρημάτισας, καὶ ἐπλουτίσθης χαρίσμασι θεϊκοῖς, ἐναρέτως βιοτεύσασα.

Ἀρχὴ ἐγένου θεόφρον καὶ ὑποτύπωσις, τῆς πρὸς Χριστὸν Λυδία, οἰκειώσεως θείας, ἐν πόλει τῶν Φιλίππων ἥτις τὴν σήν, μακαρίζει λαμπρότητα, καὶ τὴν ἀνάμνησιν ἄγει χαρμονικῶς, τῆς τοῦ Παύλου ἐπελεύσεως.

**Δόξα. Ἦχος πλ. β΄.**

Δεῦτε ἅπαντες πιστοί, ἐνθέως συνέλθωμεν, καὶ ὄμμασι ψυχῆς θεασώμεθα, τὸν θεοκήρυκα Παῦλον, τὸν λόγον τῆς χάριτος, εὐαγγελιζόμενον πᾶσι· θείᾳ γὰρ ὀμφῇ, εἰς Μακεδονίαν διαβάς, Νεάπολιν καὶ Φιλίππους, τῷ θείῳ

www.tezaurliturgic.ro



καταυγάζει κηρύγματι· καὶ Λυδίαν τὴν πορφυλοπώλιδα, τὴν τὸν Θεὸν σεβομένην, πρώτην προσάγει τῷ Χριστῷ, ὡς ἀπαρχὴν εὐπρόσδεκτον· τοῖς γὰρ ῥήμασιν αὐτοῦ, δεξαμένη τὴν λύτρωσιν, πανοικεὶ ἠξίωται, τοῦ λουτροῦ τῆς ἀναγεννήσεως, ἐν τῷ Ζυγάκτη ποταμῷ. Ὅθεν τούτων τὴν ἀνάμνησιν ἄγοντες, τῷ Σωτῆρι βοῶμεν· Κύριε, ταῖς τῶν Ἀποστόλων προσευχαῖς, φύλαττε τὴν Ἐκκλησίαν σου, ἐκ πάσης ἐπιβουλῆς καὶ αἱρέσεως.

**Καὶ νῦν. Τῆς τυχούσης ἑορτῆς.**

**Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. λα΄. 10,26)**

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τόν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς ἐπὶ τὸ ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τό ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τήν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμεραις ἐσχάταις.

www.tezaurliturgic.ro

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1, 10)**

Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία· μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί σοι. Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν· γράψον δὲ αὐτὰς ἐπὶ πλακὸς τῆς καρδίας σου, καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. Ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου· ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτόν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ· φοβοῦ δὲ τὸν Θεόν, καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ· τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπό σῶν καρπῶν δικαιοσύνης, ἵνα πίμπληται τὰ ταμεῖά σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσι.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. δ´ 7)**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ τὴν ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς·

www.tezaurliturgic.ro


ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α΄.

Θείῳ Πνεύματι κινούμενος, Παῦλε θεσπέσιε, ἐν Φιλίπποις παραγέγονας, τὴν ἐν Χριστῷ οἰκονομίαν κηρύττων· καὶ Λυδὶαν τὴν μακαρίαν ἐν γυναιξί, θείῳ λόγῳ σαγηνεύσας, πανοικεὶ τῷ Σωτῆρι προσήγαγες, λιποῦσαν τὰ ἐν κόσμῳ· καὶ Εὐαγγελικῶς πολιτευσαμένη, καὶ τῆς σῆς κοινωνίας τὰ ἀγαθὰ δρεψαμένη, τῆς αἰωνίου δόξης ἠξίωται, ὡς ὅλῃ καρδίᾳ τῷ Χριστῷ δουλεύσασα. Ταῖς αὐτῆς ἱκεσίαις Κύριε, δίδου ἡμῖν τὰ ἐλέη σου.

### Ἦχος β΄.

Ὡς τὸν Θεὸν σεβομένη, εὐθυτάτη ψυχῇ, τοῦ Εὐαγγελίου τὸ φῶς ἐδέξω, Λυδία θεόπνευστε· ἐπιβλέψας γὰρ ὁ Κύριος, θεοφιλέσι τρόποις σου, οἰκείαν δούλην σε ἐπεσπάσατο, καὶ θεράπαιναν πιστήν, ὡς ἐκλεκτὴν καὶ πλήρη φρονήσεως· καὶ ἀξίαν τῆς κλήσεως, διανύσασα ζωήν, τῆς αἰωνίου ζωῆς τὴν ἔλλαμψιν, ἐπαξίως ἀντέλαβες· ἧς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

### Ἦχος γ΄.

Ἐν πλούτῳ ῥέοντι κομῶσα, τὸν πλοῦτον τῆς χάριτος ἐν τῷ ταμείῳ τῆς ψυχῆς ἐθησαύρισας, τῷ Σκεύει τῆς

www.tezaurliturgic.ro

ἐκλογῆς κολληθεῖσα θείῳ ἔρωτι· καὶ ἐκ τῶν σῶν ὑπαρχόντων διακονοῦσα αὐτῷ, ἐμυήθης παρ' αὐτοῦ, τῆς εὐσεβείας τὸ μέγα μυστήριον, Λυδία παμμακάριστε· ἀπαρχὴ γὰρ ὤφθης τῶν ἐν Φιλίπποις πιστῶν, καὶ ὡσανεὶ εἴσοδος, πρὸς ἀληθείας ἐπίγνωσιν· Χριστὸς γὰρ σε προσελάβετο, ὁ προειδὼς τῆς διανοίας σου τὴν πρόθεσιν.

**Δόξα.**

Τῆς ἀληθείας τὸ φῶς, ἐπιλάμψαν τῇ ψυχῇ σου, τὸν ἐξάγοντα φῶς ἐκ σκότους Χριστὸν, διὰ Παύλου τοῦ θεοκήρυκος, ἀγαλλομένη ἐδέξω· καὶ τοῦ νόμου τὴν σκιὰν λιποῦσα, τὴν αἰωνίαν λύτρωσιν ἐκομίσω, τῷ αἵματι αὐτοῦ καὶ τῇ ἐγέρσει· ἴχνεσιν αὐτοῦ γὰρ ἠκολούθησες, καὶ Ἀποστόλων ξεναγὸς καὶ διάκονος ὤθης· καὶ νῦν Λυδία θεόληπτε, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Τῆς τυχούσης ἑορτῆς.**

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Ὡς τοῦ Παύλου ἀκήκοας, ἐν Φιλίπποις κηρύττοντος, τὸ τῆς θείας χάριτος Εὐαγγέλιον, ὅλη ψυχῇ προσεπέλασας, Χριστῷ τῷ Παντάνακτι, καὶ λελάτρευκας αὐτῷ, πανοικεὶ θείαις πράξεσι· διὰ τοῦτο σε, ὁ Δεσπότης Λυδία μακαρία, κληρονόμον βασιλείας, τῆς οὐρανίου ἀνέδειξε.

**Στίχ.: Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.**

Ἀπαρχὴ καὶ προοίμιον, καὶ λαμπρὰ ὑποτύπωσις, ἐν Φιλίπποις γέγονας τοῖς πιστεύσασι, Χριστῷ τῷ πάντων δεσπόζοντι, Λυδία πανεύφημε, καὶ ζωῆς τῆς καθαρᾶς, καὶ τῶν ἔργων τῆς πίστεως, στήλη ἔμψυχος, ἐπαρκοῦσα σεμνὴ τοῖς δεομένοις, καὶ τὰς πύλας τοῦ σοῦ οἴκου, πᾶσι προθύμως ἀνοίγουσα.

**Στίχ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...**

Πορφυρόπωλις πόλεως, Θυατείρων ὡς γέγραπται, ὦ Λυδία πέφηνας ἀξιάγαστε, καὶ τὴν πορφύραν τῆς χάριτος, βαφεῖσαν τῷ αἵματι, τοῦ Σωτῆρος καὶ ἀμνοῦ, ἐνεδύσω καὶ ἅπασι, περιβόητος, ἀνεδείχθης ἐν ἔργοις θεαρέστοις καὶ τῆς ἄνω βασιλείας, ἐδέξω κλῆρον τὸν ἄφθαρτον.

**Δόξα. Ἦχος δ΄.**

Εὐαγγελικῶς πολιτευσαμένη, ἐν λόγῳ, ἐν ἀναστροφῇ ἐν ἀγάπῃ, τὴν σωτήριον χάριν ἐδόξασας, τῇ ἐναρέτῳ ζωῇ, Λυδία μακαρία· καὶ τῆς θείας μακαριότητος, τὸν ἀγῶνα τελέσασα, κοινωνὸς καὶ μέτοχος, σὺν Ἀποστόλοις γέγονας· μεθ᾽ ὧν πρέσβευε, δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Τῆς τυχούσης ἑορτῆς.**

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Τὸν Θεὸν σεβομένη διανοίας εὐθύτητι, τὸ τῆς χάριτος φέγγος διὰ Παύλου εἰσδέδεξαι, καὶ πρώτη ἐν Φιλίπ-

www.tezaurliturgic.ro


ποις τῷ Χριστῷ ἐπίστευσας θεόφρον πανοικεί· διὰ τοῦτό σε τιμῶμεν ἀσματικῶς, Λυδία Φιλιππησία. Δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ καταυγάσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ ἡμῖν τὰ κρείττονα.

**Καὶ τὸ τῆς τυχούσης Ἑορτῆς.**

**Ἀπόλυσις**



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετα τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Πιστεύσασα Χριστῷ, πανοικεὶ μακαρία, ἐν ῥείθροις ποταμοῦ, τοῦ Ζυγάκτου ἐδέξω, τὸ βάπτισμα τὸ ἅγιον, καὶ ἀμέμπτως ἐλάτρευσας, θείαις πράξεσι, τῷ σὲ Λυδία ἀξίαν, ἀναδείξαντι, τῆς ἑαυτοῦ βασιλείας, καὶ δόξης τῆς κρείττονος.

Τῆς τυχούσης Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἡ πορφυρόπωλις Λυδία ὑμνείσθω, ἡ πανοικεὶ ἐν ποταμῷ τῷ Ζυγάκτη, καταυγασθεῖσα Παύλου τοῖς δι-

www.tezaurliturgic.ro

δάγμασι, βάπτισμα σωτήριον, ἱερῶς δεξαμένη, καὶ πιστῶς ξενίσασα, τοὺς σεπτοὺς Ἀποστόλους· ὑπὲρ ἡμῶν γὰρ πάντοτε Χριστόν, καθικετεύει, εὑρεῖν ἡμᾶς ἔλεος.

**Τῆς τυχούσης Ἑορτῆς.**

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τοῦ Παύλου τοῖς ῥήμασι, τῆς εὐσεβείας τὸ φῶς, Λυδία ὡς δέδεξαι, τῷ Ζωοδότῃ Χριστῷ, πιστῶς ἠκολούθησας. Ὅθεν ἡ ἐν Φιλίπποις Ἐκκλησία τιμᾷ σε, μνείαν τῆς σωτηρίου, τοῦ θεόφρονος Παύλου, ἐλεύσεως τελοῦσα, καὶ τὸν Χριστὸν δοξάζουσα.

**Τῆς τυχούσης Ἑορτῆς.**

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
**Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.**

**Στίχ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...**

**Εὐαγγέλιον κατὰ Ματθαῖον.**
**Ζήτει τῷ Σαββάτῳ τῆς γ΄ ἑβδομάδος, Ματθαίου.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τῆς σῆς Ἁγίας...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Στίχ.: Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

www.tezaurliturgic.ro



### Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἀποστολικὴν ἀνύσασα ζωήν, καὶ τὸν Χριστὸν ἀξίως θεραπεύσασα, τῆς ἀφθαρσίας τὸ διάδημα, παρ' αὐτοῦ ἐδέξω, Λυδία θεόφρον· καὶ νῦν τὴν δόξαν αὐτοῦ, ἀνακεκαλυμμένως ὁρῶσα, ἀπαύστως ἱκέτευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Εἶτα οἱ Κανόνες, τῆς Ἑορτῆς ἢ τοῦ Πάσχα, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς.**

**«Τὸ σὸν Λυδία γεραίρω κλέος. Γερασίμου».**

### Ὠδὴ α΄. Ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Τῷ φέγγει τῆς χάριτος, αὐγαζομένη, Λυδία Θεόληπτε, τὸν νοῦν μου φώτισον, σαῖς φωτοφόροις λιταῖς, ὡς ἂν ἑόρτιον ᾠδήν, μέλψω σοι πάνσεμνε.

Ὁ Παῦλος ὁ ἔνδοξος, ἐν τοῖς Φιλίπποις, ἐλθὼν πρώτην πάνσεμνε, σὲ κατεφώτισεν, Εὐαγγελίου φωτί· ἔνθεν προσῆλθες τῷ Χριστῷ, ὅλῳ τῷ οἴκῳ σου.

Σωτήριον κήρυγμα, εἰσδεξαμένη, ὡς γῆς πίων πάνσεμνε, ἑκατοστεύοντα, καρπὸν προσάγεις Χριστῷ, καὶ Ἀποστόλων κοινωνὸς, Λυδία πέφηνας.

### Θεοτοκίον.

Ὁ Λόγος ὁ ἄχρονος, ἐκ σοῦ ὡράθη, ἐν χρόνῳ Πανάμωμε, ὡς σὰρξ ἐγένετο, ἐκ τῶν αἱμάτων τῶν σῶν, καὶ τῆς ἀρχαίας τὸν Ἀδάμ, κατάρας ἔλυσε.

www.tezaurliturgic.ro

### Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Ναμάτων θείων κατετρύφησας, ἀναγεννηθεῖσα τῷ Πνεύματι, διὰ λουτροῦ ζωοποιοῦ, πανοικεὶ ἐν τοῖς ὕδασι, τοῦ Ζυγάκτου μεγαλύνουσα, Λυδία τὸν Κύριον.

Τελαμπρυσμένη τὴν διάνοιαν, τοῦ Εὐαγγελίου τοῖς δόγμασιν, ὤφθης ἁγία ἀπαρχή, εὐσεβείας πρὸς Κύριον, ἐν Φιλίπποις καὶ διέπρεψας, Λυδία ἐν ἅπασι.

Ὕψος ὡς ἔγνως τοῦ κηρύγματος, Παύλου τοῦ σοφοῦ θεοκήρυκος, τὸν κεκρυμμένον ἐν αὐτῷ, μαργαρίτην ἀνεύρηκας, καὶ αὐτὸν ἐν τῷ ταμείῳ σου, ψυχῆς ἐθησαύρισας.

### Θεοτοκίον.

Δοχεῖον δεῖξον με τῆς χάριτος, τοῦ ἐκ τῆς νηδύος σου λάμψαντος, ἀποκαθάρασα ῥοαῖς, τοῦ ἐλέους σου δέομαι, τὴν ῥυπῶσάν μου διάνοιαν, Ἁγνὴ Παναμώμητε.

### Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Θείας πίστεως, τὸ φῶς δεχθεῖσα, λαμπὰς πάμφωτος, τῆς Ἐκκλησίας, τῆς ἐν Φιλίπποις Λυδία γεγένησαι, καὶ ὥσπερ φῶς ἐφαπλοῖς θείῳ Πνεύματι, προτερημάτων τῶν σῶν τὴν λαμπρότητα. Καὶ νῦν πάνσεμνε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ θεῖον ἔλεος.

### Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Ἱλασμὸν τὸν σωτήριον, Παύλου τοῖς λόγοις ὡς ἐκομίσω, πανοικεὶ Χριστῷ προσέδραμες, καὶ αὐτὸν ἐδόξασας, Ἀποστολικῇ πολιτείᾳ σου.

www.tezaurliturgic.ro



Ἀναφαίρετον κλέος σοι, Χριστὸς παρέσχεν ὡς θεραπαίνῃ, ἐκλεκτῇ τῶν Ἀποστόλων σε, κοινωνὸν καὶ σύσκηνον, δείξας ὦ Λυδία πανένδοξε.

Γνώμῃ θείᾳ καὶ ἔμφρονι, φιλοξενοῦσα τοὺς Ἀποστόλους, ἐπληρώθης θείας χάριτος, Λυδία θεόπνευστε, καὶ ζωῆς ἀγήρω τετύχηκας.

Θεοτοκίον.

Ἐξ ἀχράντων αἱμάτων σου, σεσαρκωμένος κόσμῳ ὠράθη, ὁ τῆς δόξης Κύριος, μόνη Ἀειπάρθενε, κόσμον ἀδοξίας λυτρούμενος.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην.

Ῥημάτων ὡς ἀκήκοας, τοῦ Παύλου σεμνὴ, Χριστοῦ τῇ ἀγάπῃ τὸν νοῦν σου ἐπτέρωσας, καὶ τὰ ἡδέα πάντα ἔλιπες, ἄρασα ἐπ' ὤμων, Σταυρὸν τὸν τοῦ Κυρίου.

Ἀμέμπτως πεπολίτευσαι, δεχθεῖσα τὸ φῶς, τοῦ Εὐαγγελίου, Λυδία πανεύφημε, καὶ τὸν Σωτῆρα ἐθεράπευσας, ἐναρέτοις ἔργοις, ὡς ἐκλεκτή ἐν πᾶσι.

Ἰσχὺν θείαν ἐπλούτησας, τοῦ Παύλου χερσί, καὶ Χριστὸν ἐξ ὅλης ἰσχύος ἠγάπησας, τὸν σὲ καλέσαντα θεόληπτε, πρὸς γνῶσιν τῆς θείας αὐτοῦ οἰκονομίας.

Θεοτοκίον.

Ῥυπούμενος ἑκάστοτε, παθῶν ταῖς ὁρμαῖς, τὴν ψυχὴν ὁ τάλας, μολύνω καθ' ἑκάστην· ἀλλὰ σὺ δίδου μοι μετάνοιαν, ἵνα Θεοτόκε, σωθῶ τῇ χάριτί σου.

www.tezaurliturgic.ro



## Ὠδὴ στ΄. Τὸν Προφήτην Ἰωνᾶν.

Ὡς ἁγίαν ἀπαρχὴν, εὐσεβείας πρὸς Χριστὸν, ἐν Φιλίπποις ἡ σεπτή, Ἐκκλησία εὐφημεῖ, Λυδία σε, σεμνυνομένη, ἐνθέοις τρόποις σου.

Κεκτημένη ἐν ψυχῇ, θεῖον φόβον πρὸς Θεόν, τὸν Υἱὸν αὐτοῦ σεμνή, σαρκωθέντα δι' ἡμᾶς, εἰσδέδεξαι, ὡς ἠκροάσω, Παύλου τοῖς ῥήμασι.

Λυτρωθεῖσα τῶν φθαρτῶν, οὐρανίῳ λογισμῷ, πρὸς τὰ ἄφθαρτα σεμνὴ, ἐνητένισας πιστῶς, καὶ μέτοχος, τῆς τούτων δόξης, Λυδία γέγονας.

### Θεοτοκίον.

Ἐσαρκώθη ὑπὲρ νοῦν, ὁ ἀσώματος Θεός, ἐξ αἱμάτων σου ἁγνῶν, ὡς ἠθέλησεν αὐτός, καὶ ἔσωσε, Θεογεννῆτορ, βροτῶν τὸ φύραμα.

### Κοντάκιον.

### Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τοῖς τοῦ Παύλου ῥήμασι καταυγασθεῖσα, ἐν Φιλίπποις πέφηνας εἰκὼν ἁγίας βιοτῆς, καὶ πανοικεὶ δόξης κρείττονος, Φιλιππησία Λυδία ἠξίωσαι.

### Ὁ Οἶκος.

Ἐν Φιλίπποις σεμνῶς βιοτεύουσα καὶ Θεὸν φοβουμένη θεόληπτε, τὴν ψυχὴν προητοίμασας πάνσεμνε, πρὸς

www.tezaurliturgic.ro


δοχὴν μυστηρίου τοῦ κρείττονος· καὶ ἐπιστάντος Παύλου τοῦ οὐρανοβάμονος τοῦ Εὐαγγελίου τὴν ἔλλαμψιν δέδεξαι, πανοικεσίᾳ πιστεύσασα Χριστῷ, τῷ σαρκωθέντι δι' ἡμᾶς· καὶ ἐν Ζυγάκτη ποταμῷ, τῆς ἀφθαρσίας δεξαμένη τὸ λουτρόν, ἐπαξίως τῆς χάριτος διέπρεψας, Ἀποστόλοις διακονοῦσα καὶ παρ' αὐτῶν μυουμένη, τῆς αἰωνίου σωτηρίας τὰς ἀναβάσεις, τὰς ἀμοιβάς, καὶ τὰς μακαρίας ἀπολαύσεις, ὧν σὺν τοῖς σοῖς οἰκείοις, Φιλιππησία Λυδία ἠξίωσαι.

## Συναξάριον.

Τῇ κ΄ τοῦ αὐτοῦ μηνός, Μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας καὶ δικαίας Λυδίας τῆς πορφυροπώλιδος, τῆς πρώτης ἐν Φιλίπποις πιστευσάσης πανοικεὶ τῷ Χριστῷ, τῷ κηρύγματι τοῦ οὐρανοβάμονος Παύλου.

**Στίχ.:** Πανοικεὶ πιστεύσασα Χριστῷ Λυδία.

Ἐν Φιλίπποις πέφηνεν ἀρχὴ ἁγία.
Λυδίης μεγαλόφρονος ἄφθιτον κλέος εὖ λιγαίνω.

Λυδία ἡ μακαρία πορφυρόπωλις πόλεως Θυατείρων ἦν ἐν Φιλίπποις σεβομένη τὸν Θεόν, καὶ ἀμέμπτῳ κοσμουμένη πολιτείᾳ. Παραγενομένου ἐν αὐτῇ τοῦ οὐρανοβάμονος καὶ θεσπεσίου Παύλου, ἤκουσε τῆς διδαχῆς αὐτοῦ, καὶ ἐδέξατο τοῦ Εὐαγγελίου τὸ φῶς, πανοικεὶ πιστεύσασα τῷ Χριστῷ, καὶ βαπτισθεῖσα ἐν τοῖς ῥείθροις τοῦ ἐκεῖσε ποταμοῦ Ζυγάκτου. Καὶ ἦν Εὐαγγελικῶς πολιτευομένη, καὶ διακονοῦσα τοῖς μακαρίοις, Ἀποστόλοις ἐν τῷ οἴκῳ αὐτῆς, καὶ θεραπεύουσα τὸν Κύριον ἐναρέτοις

ἔργοις καὶ ἀγαθαῖς πράξεσιν. Ἀποστολικῶς δὲ τελέσασα τὴν ζωήν, μετετέθη ταῖς ἄνω μοναῖς, κληρονόμος φανεῖσα τῆς οὐρανίου βασιλείας.

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Ἡ κάμινος Σωτήρ.**

Ὁ βίος σου Λυδία διέλαμψε, φωτὶ τῶν ἐναρέτων σου πράξεων· διὸ μετέστης πρὸς φῶς, τῆς ἀθανάτου ζωῆς.

Συνέσει κοσμουμένη θεόληπτε, τοὺς θείους Ἀποστόλους ἠξίωσαι, φιλοξενεῖν εὐσεβῶς, Λυδία πίστει θερμῇ.

Γεραίρει Ἐκκλησία Φιλίππων σε, ἐνθέοις σου σεμνὴ προτερήμασιν, ἁβρυνομένη λαμπρῶς, καὶ μεγαλύνει Χριστόν.

**Θεοτοκίον.**

Ἐκύησας ἡμῖν ὑπὲρ ἔννοιαν, τὸν πάντων Ποιητὴν καὶ Δεσπόζοντα, καὶ ἐλυτρώσω ἡμᾶς, Κόρη τῆς πάλαι φθορᾶς.

**Ὠδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.**

Ῥημάτων τῆς χάριτος, καὶ θείων ἐντολῶν, σεμνὴ γεωργήσασα, τὸν σπόρον νουνεχῶς, Κυρίῳ προσάγεις, πολύχουν καρπόν, Λυδία θεόφρον, τοῦ βίου σου τὰς πράξεις.

Ἁγίως ἀνύσασα, Λυδία τὴν ζωήν, Ἁγίων συνόμιλος, ὤφθης ἐν οὐρανοῖς καὶ νῦν ἁγιάζεις, σαῖς ἁγίαις εὐχαῖς, τοὺς τὴν σὴν ἁγίαν, ἐπιτελοῦντας μνήμην.

www.tezaurliturgic.ro



Συνόμιλος γέγονας, τοῦ Παύλου τοῦ σοφοῦ, καὶ τοῦτον ξενίζουσα, τῷ οἴκῳ σου σεμνή, ξενίας τῆς ἄνω, ἠξιώθης λαμπρῶς, καὶ σὺν Ἀσωμάτοις, Λυδία συναγάλλῃ.

### Θεοτοκίον.

Ἰάτρευσον Δέσποινα, νοσοῦντά μου τὸν νοῦν, ἐννοίαις ἀλάστορσιν, ἀπάτῃ τοῦ ἐχθροῦ, καὶ δίδου μοι φέγγος, μετανοίας Ἁγνή, τῷ ἀεὶ φωνοῦντι, τὴν σὴν ἁγίαν κλῆσιν.

### Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

Μνήμην τὴν σὴν ἑορτάζοντες πάνσεμνε, ἀνευφημοῦμεν τὰ σὰ προτερήματα· σεαυτὴν γὰρ δέδωκας, ὅλῃ διανοίᾳ σου, Εὐαγγελίου ταῖς πράξεσι Λυδία, ὡς ἐκλεκτὴ τοῦ Σωτῆρος θεράπαινα.

Ὁλοσχερῶς τῶν γηΐνων χωρίσασα, τὴν σὴν καρδίαν Χριστῷ ὡς πεπίστευκας, τοῦτον ἐθεράπευσας, τρόποις σου χρηστότητος, καὶ θεαρέστῳ ζωῇ· ὅθεν Λυδία, τῆς οὐρανίου χαρᾶς κατηξίωσαι.

Ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε, σὺν Ἀποστόλοις Ἁγίοις καὶ Μάρτυσι, καὶ Προφήταις ἅπασι, καὶ Δικαίοις πάνσεμνε, ὡς ἂν πταισμάτων συγχώρησιν λαβόντες, τῆς αἰωνίου ζωῆς μετασχοίημεν.

### Θεοτοκίον.

Ὑψίστου ὤφθης καθέδρα πολύφωτος, καὶ φωταυγὲς Θεοτόκε παλάτιον, τοῦτον σωματώσασα, ἐξ ἁγνῶν

αἱμάτων σου· ὅθεν αὐτὸν ἐκδυσώπει οἷα Μήτηρ, τῆς ἀθανάτου ζωῆς ἀξιῶσαί με.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Λυδία παμμακάριστε, Χριστοῦ πιστὴ θεράπαινα, καὶ ἀπαρχὴ Ἐκκλησίας, τῆς ἐν Φιλίπποις ἁγίας, σὺν Ἀποστόλοις πρέσβευε, Χριστῷ τῷ Παντοκράτορι, δοῦναι πταισμάτων ἄφεσιν, καὶ ἱλασμὸν καὶ εἰρήνην, τοῖς τὴν σὴν μνήμην τελοῦσι.

**Τῆς τυχούσης Ἑορτῆς.**

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

**Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ἔδωκας σημείωσιν.**

Παῦλος ὁ Ἀπόστολος, ὁ πλήρης θείων ἐλλάμψεων, τὸ Χριστοῦ στόμα ἅγιον, φωτί σε κατηύγασε, τοῦ Εὐαγγελίου, Λυδία θεόφρον, ἐν τοῖς Φιλίπποις γεγονώς, καὶ πανοικεί σε Χριστῷ προσήγαγεν· ὃν πίστει ἐθεράπευσας, ταῖς ἐναρέτοις σου πράξεσι, καὶ παρ' οὗ διαδήματι, ἀφθαρσίας κεκόσμησαι.

Λόγον τὸν τῆς πίστεως, εἰσδεδεγμένη θεόληπτε, πανοικεί τοῖς διδάγμασι, Παύλου τοῦ τρισμάκαρος, Λυδία θεόφρον, καὶ Ζυγάκτου ρείθροις, ἀναγεννήσεως καινῆς, καὶ σωτηρίας λουτρὸν τὸ ἅγιον, βεβάπτισαι καὶ ἔνθεον, τρόπον καὶ βίον κατάλληλον, ἐπεδείξω τῇ χάριτι, οὐρανίῳ φρονήματι.

www.tezaurliturgic.ro



Ἄγοντες ἀνάμνησιν, τῆς σῆς ἁγίας ἐλεύσεως, ἐν Φιλίπποις γεραίρομεν, Παῦλε παμμακάριστε, μύστα τῶν ἀρρήτων, τὴν σὴν θείαν γλῶσσαν, δι' ἧς Λυδίαν τὴν σεμνήν, πανοικεσίᾳ Χριστῷ προσήγαγες, καὶ ταύτην μακαρίζοντες, ὥσπερ ἐλαίαν κατάκαρπον, εὐσεβείας καὶ χάριτος, τὸν Σωτῆρα δοξάζομεν.

Πάλαι μὲν τὸ βάπτισμα, τὸ εἰς Χριστὸν διὰ πίστεως, ἐν Ζυγάκτῃ ἐδέξατο, Λυδία ἡ ἔνδοξος, σὺν τῷ ταύτης οἴκῳ· νῦν δὲ ὡς ἁγίῳ τούτῳ τῷ τόπῳ εὐσεβῶς, τῶν εὐσεβούντων χεῖρες ἀνίδρυσαν, ἅγιον Βαπτιστήριον, ἔνθα θυσία ἀναίμακτος, τῇ Τριάδι προσάγεται, εἰς πιστῶν περιποίησιν.

**Δόξα. Ἦχος πλ. α΄.**

Τῷ Χριστῷ ἀμέμπτως δουλεύσασα, πλήρης θείων πράξεων ὤφθης, Λυδία μακαρία· ὡς Ἀποστόλων γὰρ κοινωνός, ἀξίως ἐβάδισας, τὴν ὁδὸν τῆς σωτηρίας· καὶ τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης, μεταστᾶσα τῶν προσκαίρων, ἐν πολλῇ εὐφροσύνῃ· καὶ νῦν Ἀγγέλοις συνοῦσα, μὴ παύσῃ πρεσβεύουσα, ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν. Τῆς τυχούσης Ἑορτῆς, ἢ τὸ τοῦ Πάσχα.**

**Ἀναστάσεως ἡμέρα....**

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη, Ἀπόστολον εἰς τὰς Πράξεις τῶν Ἀποστόλων ὡς ἑξῆς:

**Προκείμενον.**
**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Στίχ.: **Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.**

**Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.**
(Κεφ. ιστ´ 8-15)

Ἐν ταῖς ἡμέραις ἐκείναις, Παῦλος καὶ οἱ σὺν αὐτῷ παρελθόντες τὴν Μυσίαν κατέβησαν εἰς Τρῳάδα, καὶ ὅραμα διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνὴρ τις ἦν Μακεδὼν ἑστώς, παρακαλῶν αὐτὸν καὶ λέγων· διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητή-

www.tezaurliturgic.ro



σαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμοθράκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις κολωνία. Ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς, τῇ τε ἡμέρᾳ τῶν Σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως, παρὰ ποταμὸν οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνή, ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. Ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε καὶ παρεβιάσατο ἡμᾶς.

**Εὐαγγέλιον ζήτει τῇ Πέμπτῃ τῆς ε΄ ἑβδομάδος Ματθαίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Πρώτη ἐν Φιλίπποις πρὸς τὸν Χριστόν, θεόφρον προσῆλθες, διὰ Παύλου τοῦ εὐκλεοῦς, ὦ Φιλιππησία, Λυδία καὶ ἐν ῥείθροις, Ζυγάκτου ἐβαπτίσης πανοικεὶ πάνσεμνε.

**Δίστιχον.**

Λυδία, Γεράσιμος τὰς χάριτάς σου
Ἀρτίως ἀνύμνησε, Χριστὸν δοξάζων.